


Vc
2451

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-17579-p0001-6

II, 66.

II, 66.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-17579-p0002-2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-17579-p0003-8

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-17579-p0004-3

# ΓΕΝΕΘΛΙΑ

*Consecrata memoriæ & felicitati nativitatis*

Reverendissimi, Celsissimiq;
Principis ac Domini, Domini

# AUGUSTI

DUCIS SAXONIÆ, LANDGRAVII THURINGIÆ, MARchionis Misniæ, & Episcopatus Naumburgensis, & Cizensis Postulati Administratoris, Academiæ VVittebergensis Rectoris Magnificentissimi, &c. Domini sui clementissimi.

à

*GEORGIO HORN, PESNICENSI.*

*WITTEBERGÆ*
Imprimebat Laurentius Seuberlich,
*Anno 1605.*

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-17579-p0005-9

BIBLIOTHECA
PUNICKAVIANA

UNIVERSITÄTS-BIBLIOTHEK
HALLE
(SAALE)

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-17579-p0006-4

Χρὴ θεὸν ἀθάνατον κλείειν πολυηδέϊ ὕμνῳ
καὶ ὄρχαμον ΑΥΓΟΥΣΤΟΝ φαίδιμον ἡγεμόνα
ἄξιον εὐμενέως προχέειν μελίσημον ἀοιδὴν,
καὶ θυμῷ γηθεῖν, ἠδὲ ἀειδέμεναι.
παντοκράτωρ ὁ θεὸς νοεραῖς ἀκτῖσι καθαίροι
πλεῦ τε φλέβ' ἀρδεύοι ῥήμασιν ἀμβροσίοις.
μήποτε ἀπλοεπὴς ἐπιβόμβη θυ ἐδὶ φωνή.
ψυχοτακεῖ γλώσσῃ δεινὸς ἑταῖρος ἐών.
μήποτέ τις κρίνῃ τὸ ἔπος νεμεσήμονι μύθῳ
μεμφόμενος, φρεσὶν καὶ νόῳ ἀργαλέος.
Αὐτὰρ ἐγὼ γράψω, διὰ νεῦμα τοῦ αἰὲν ἐόντος,
οἶδ' ἄρα ὅτι οὐδεὶς πᾶσιν ἀδεῖν δύναται.
πᾶσιν ἀδεῖν κακόν ἐστι, καὶ ἀχλυόεντι ἀλήτῃ
κόσμῳ πιστεύειν, ἐστὶ ματαιότατον.
οὐ διὰ ἀνδρομέων ὅπλων τις σώζεται, ἀλλά
ἐν δυνάμει πατρὸς, καὶ φίλῃ εὐτυχίᾳ.
ἣν θεὸς αὐτογενὴς πέμπει θνητοῖσι βροτοῖσι
οὐρανόθεν ταῖς ἐν θλίψεσι θυμοφόροις.
πνεύματος οὐρανίου, διά τ' ἐργοπόνοιο λόγοιο,
ὡς πρόφρων γενέτης, ὡς ταχυεργὸς ἄναξ.
ἡμᾶς τοι δύναμις τοῦ ὀλυμπίου ἀστεροπητοῦ
σώζει, ἐπιχθονίοις πάντα χαριζομένη.
γῆρυν ἐκείνου ἀεὶ αἴειν, καὶ μῦθον ἀκούειν
ἔστ' ἀγαθὸν, θυμῷ καὶ οὖσι θελγομένοις.

ἔργά τε δοξάζειν, καὶ ἐκείνου θαύματα ὑμνεῖν.
    πᾶσι πρέπει ἡμῖν χείλεσι πιστοτάτοις.
ἐχθαίρειν κακὰ δίσφημον, καὶ ἀνέρα μάργον,
    ἠδὲ φόνον, μῆνιν, λοιδορίην χαλεπήν.
Ἀκτεάνους εὐεργετέειν, ἐλεεῖν τε πενιχρούς,
    Οἰκτείρειν πτωχούς, τοῦτο πέλει ἀγαθόν.
Αἰσχρὰ, φιλαργυρίαν φεύγειν, λαλιάν τε ἀναιδῆ
    Δεῖ ἡμᾶς, καὶ τὴν μαχλοσύνην ὀλοήν.
Ἀμπλακίας, καὶ ἀτασθαλίαν, καὶ πταίσματα ἄτην,
    αἳ αἳ χρὴ στυγέειν πρῆγμα πονηρὸν ἅπαν.
οὐ μὴ θαρσαλέως διάγειν, πέλε κῦδος ἀγαυόν,
    μὴ πενίην τιμᾶν ἐστιν ἀρειότερον.
πάντας ἀλήθειαν πατρὸς οὐρανίοιο φυλάττειν,
    καὶ καθαροὺς εἶναι δεῖ πυρὶ πνευματικῷ.
Ὀρθὴν πίστιν ἔχειν, τε καὶ ἀτρεκίης ἁγιασμῷ,
    ὡς ἀστὴρ στίλβειν, μύθῳ ὁμοζυγέας.
εὐσεβέας τ' ἔμεν, οὐδ' ἀχρήϊα ἄχθη ἀρούρης
    εἴποντας φεῦ φεῦ ἡμετέρης μανίας.
πλησίον ἄνδρ' ἀγαθὸν στέργειν ἔργῳ τε λόγῳ τε,
    ζώειν ἐν δόξᾳ ἔν τε φιλοφροσύνῃ.
Τάσδε διχοστασίας ῥ' ὀλοάς, ὀλοὰς μελεδώνας
    γυιοβόρους φεύγειν, ὥστε λακὸν λιμένα.
τοῖα δὲ ῥέζοντες τελέθουσι σαόφρονες ἄνδρες,
    κληρονόμοι βιότου, φαίδιμα τέκνα θεοῦ.
κῦδος ἔχοντες ἐπὶ χθονὶ, ἠδὲ ἔπαινον ὀλύμπῳ,
    εἰρήνην, ἰσχύν, γηθοσύνην τ' ἁγίαν.
καὶ ἅμα δεκτοὶ ἐασι; καὶ αὐτῶν κόσμος ἀλήτης
    θαυμάζει, καὶ τῶν ἔργα βλέπειν ἐθέλει.

πολλάχ'

πολλάχ' ἔκητι θεοῖο μετάτροπον ἦθος ἀμείβων
ὄχλος, καὶ πιθέει εὐνομίης μεθέπειν.
Δυσσεβέες πολλοὶ γίγνονται ὁμόφρονι βουλῇ
πιστότεροι, ἀνδρῶν τ' ἤθεσιν εὐσεβέων.
ὥς τ' εἰπεῖν συνελὼν, καὶ ἔρχαμον ἴδμονι φωνῇ
Σημαίνειν, ὅστις τ' ἦθος ἄμωμος ἔην.
Αὔγουσθ' ἥγητορ πάντων ἀριδείκετε ἀρχῶν,
κηρὶ σὺ εὐσεβίαν καὶ ἀρετὴν φιλέεις.
πάμφαινόν τε φάος, πολυήρατα ῥήματα, ὀμφὴν
Ἀμβροσίην, θυμῷ θ' ὑψιμέδοντα θεόν.
Ἀέναον θεὸν αὐτόφυτον τεχνήμονα κόσμου,
ἕνα λέγον κεδνὸν, πνεῦμά τε ἰσόθεον.
τοὺς ἄνδρας νοεροὺς, τε καὶ ἀγρύπνους ἱερῆας,
εἵνεκα τῆς εὐχῆς, ἱκεσίης θ' ἕνεκα.
Ὀτρηροὺς τ' ἄλλους ἀγκιπᾶις θεράποντας ἀγαυοὺς,
θῆτας ὁμοῦ καί τοι δμῶας ἐπισταμένως.
Σοῦ δὲ ἐπερχομένου, ἔργοις, σοῦ καὶ παρέοντος
πάντας μήθ' ἕρδειν μήτε λέγειν ἀσεβῆ.
καὶ τινὰς, ὥστε τέρος, καλέεις βελαρῷ τινὶ μύθῳ,
καὶ μετέπειτα τινὰς μειλιχίοισι λόγοις.
χέτλιος ἠδὲ τελεῖ φρὲν ἀνὴρ ἐπιδάκνει ἀναιδής,
ὡς ἀχάριστος ἔην, ὡς κακὰ πολλὰ νοεῖ.
ὃς καὶ ἐὼν βροτὶς, ἀλλοτριοφθονέει, κακόχαρτος,
μὴ στέργων σοφίην, οὐδὲ ἀληθοσύνην.
ἐχθαίρειν κακεταιρείην, ψεῦδός τε, ἀνώγεις,
χλοΐην, καὶ λύσσην, τήνδε ἀλημοσύνην.
τῶν καλῶν πάντων, τε καὶ εὐσεβέων ἀλεγίζεις
Ανθρώπων, καμάτῳ πολλῷ ἐλαυομένων.

Σοῦ ἄρα θαυμάζει τι ὁμοῤῥήτῳ τινὶ μύθῳ
λαός, καὶ αἰνεῖ ἔργα τὰ αὐτόματα,
οὐρανίην διδαχήν, ἀρετήν, καὶ ἠθάδα τέχνην,
γράμματα, ἐννοίην, ἀμβροσίην τε δίκην.
πρῶτα φέρειν σοφίης, πολλῶν ἀντάξιον ἄλλων,
τόξα τε εὖ εἰδεῖν, καὶ μακρόθυμον ἔμεν.
Ναί, οὕτως ὀαρίζει, ἐλεύθερα χείλεα λύσας
Ἀμφαδίην, οὕτω φθέγγεται ὄχλος ἅπας.
πιστὸς ὅλως λόγος οὗτος ἔφυ νημερτεῖ μύθῳ.
ἠδὲ σοφῆς πέλεται, τοῦ διὰ νεῦμα θεοῦ.
Δώματι ἐν μεγάλοις γηθεῖ ἀριδείκετα φῦλα,
ἄστεσιν οἵδε ἔπαι τῷ χρόνῳ ἀργαλέῳ.
οὐ δειμαίνοντες πόλεμον μάλα δακρυόεντα,
ἔλποντες μᾶλλον τὴν ἄρα ἡσυχίαν.
τήνδε χάριν θείην, ἣν μὴ πόρε κόσμος ἀγήνωρ,
νῦν καίπερ σοφὸς ὢν σφῆσι πολυφροσύναις:
Αἰεὶ αἰτοῦντες παρὰ πατρὸς ἐπουρανίοιο
εἰρήνην, ἀνοχήν, καὶ ὁσίην διδαχήν.
Ῥήματα ἀενάων ἐπέων πειθήμονι φωνῇ,
χρηστὸς ἀνήρ, τοίων ὃς ποθέει, πέλεται.
πάντα νόῳ μεθέπει, τε καὶ οὐρανὸν εὐρὺν ὕπερθεν,
ἐν πᾶσιν ζώει ἤμασι γηθόσυνος.
Ἀνέρα δαιδάλλει τοῦτον θεὸς ὀβριμοεργός,
καὶ κοσμεῖ δώροις ἀτρεκέως ἀγαθοῖς.
οὐ δεῖ φροντίζειν, οὐ μὴ φίλον ἦτορ ἀχεύειν,
Ἄμμιν πάντα θεὸς δώσει ἄρ' ἀμφιλαφῶς.
τῶν θνητῶν κήδη, καὶ ἄχος, μελεδῶναι ἅπασαι
εἰσὶ θυμοβόραι, ἠδὲ ματαιόταται.

Ταῦτα

Ταῦτα θεοῦ ὑμῖν κεν σπουδαίως ἀγορεύοι
    Βίβλος, καὶ ὀμφὴ φθεγγομένη ἱερά.
Αὐτὸς περιφρονέως αἰώνιον ἄμμι ἐπάσσει
    ζωὸν ὕδωρ πηγῆς, νάματος οὐρανίου.
Τηλύγετος κείνου ἠδ' ὡς φυσίζοον ὕδωρ
    πᾶσι φέρει, ὁπόσους ἠέλιος καθορᾷ.
ὅστις μαστεύει τὸ ἐκείνου οὔνομα ἁγνὸν
    τὸν φιλεῖ ἀσπασίως πνεῦμα τὸ ἰσόθεον,
Τοῦτο ἐπιχθονίους ἀπὸ ἀχλύος εἰς φάος ἕλκει,
    τούσδε καταυγάζει οὐρανίαισι βολαῖς.
Ἀγλαὶν ἀέναον πέλε ὠκυμόρων φάος ἀνδρῶν,
    πρεσβύτερον κόσμου, μάρτυς ἐτητυμίης.
Ἄνδρας ἀλιτραίνοντας ἑῇ πολυειδεῖ αὐγῇ
    φωτίζει, ταλάνων σῶμα χαμαιγενέων.
νῦν θεὸς ὀφθαλμῷ οἴκτου πανδερκεῖ σῶζε
    τούσδε νοοβλαβέας κ' ἄνδρας ἀπιστοτέρους.
οἳ κεύθουσι πλὴν αἰσχρῶς πολυφεγγέα ἡμῖν,
    Δόξαν, καὶ ῥώμην, ἔργα θεηγενέα.
Ἀμφοτέρους τούτους ἀνθρώπους θεός σε κόμιζε
    εὔνους ὄφρα σέ τοι εὐλογέωσι φρεσίν.
τοὺς κρατεροὺς ἀρχοὺς, ἡγήτορας, ἠδὲ μέδοντας,
    ὥστε φιλάττωσιν θεσμοῦ ἐφετμοσύνην.
ὄφρα σὲ, ὡς γενέτην ἀγαπάζωσιν κατὰ κόσμον,
    ὥστε γεραίρωσιν χείλεσ' ἑτοιμοτάτοις.
Ὄφρα τεὸν λέγον ἵνα σοφῷ καὶ ὁμόφρονι δεσμῷ
    Ἀμφιπολεύωσιν τῇ βοῇ ἁγνοτέρῃ.
πνεῦμά τε κυδαίνωσιν ἀπειροκάκῳ τινὶ μύθῳ,
    εὐχωλαῖς ἁγίαις, κηρὶ, λόγῳ θ' ὁσίῳ.

Ὄφρα

ὄφρα ὑποκλινέωσι λιτήσιον αὐχένα χαίῃ,
ἠδέ σε αἰτῶσιν παμβασιλῆα θεόν.
καὶ ἅμα γινώσκωσιν ἀοσσητῆρά σε κόσμου,
ποιητὴν τῆς γῆς, οὐρανοῦ, ἠδὲ ἁλός.
Σὸν δ' ἅμα ὀψὲ μολεῖν, καὶ κρίνειν κόσμον ἅπαντα,
υἱέα, τῶν συγγνῶν ἕνεκ' ἀλιτροσυνῶν.
Τοὔνεκεν οὖν πάντες θνητοί, οἳ σῖτον ἔδουσι
τιμοῖεν Χριστοῦ ῥήματ' ἀλεξικάκου,
εὐγλυέες, καὶ γλομόροι, ἄφατοί τε φατοί τε,
Ζηλωτοῖο θεοῦ μῆνιν ἀλευάμενοι.
χρὴ οὖν ἀγρυπνέοντας ἔμεν, καὶ βιοσοδομεῖν.
νήφειν, μὴ πίνειν οἶνον ὑπερβολάδην.
μέτρον ἔχειν σίτου, καὶ τοῦ μελιηδέος οἴνου,
μυθεῖσθαι περὶ τοῦ ἐρχομένου βιότου.
Αἶψα γὰρ ὥστε νόημα θεοῖο ἐπέρχεται ὀργή,
ἢ ἡμῖν οὐ μὴ ἔργ' ἐρατεινὰ φέρει.
ὡς χόλος, ὡς ὀργὴ ἡγήτορος, ἠὲ μέδοντος,
ἣ ῥ' ὑποτασσομένοις οὐ τὰ δέοιτα πρεῖ.
πολλάκι θ' ὑβρίζει πλούτῳ κεκορημένος ἀνὴρ
ὄλλυσι ἐξαπίνης τοῖος ἀνὴρ ἄδικος.
ἡμέας οὖν θεὸν αὐτοφυῆ περὶ πάντα φοβεῖσθαι
χρή, καὶ δῶρα ἴμως, οἷα δίδωσι, ἔχειν.
ὠφέλιμος πᾶσιν τελέθει ὁμόνοια εὔφρων,
μὴ φθονέειν, καὶ μὴ μαψιδίως νεμεσᾶν.
Αἰσχρὰ δὲ μὴ βάζειν, μὴ αἵματι χεῖρα μιαίνειν,
νηλέϊ τῷ χαλκῷ μηδέν' ἀποκτανέειν.
μηδ' ἀδικεῖν τινά, μὴ βλάπτειν ψευδήμονι κλήσει,
χωόμενοι παίζειν κερτομίοις ἔπεσιν.

φεύγειν

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-17579-p0012-7

Φεύγειν κινδύνους, κόλακας, καὶ αἴδριας ἄνδρας.
λαὸν, ὕδωρ, καὶ πῦρ, εἶτα τραπεζοκόρους,
μαλθακὰ κωτίλλοντας, ἀεργοὺς, γαστέρας ἀργάς.
πνείοντας πόλεμον δακρυόεντα κλόνον.
τὰ σκοπέειν. καὶ ὁρᾶν θυμῷ καὶ ὄμμασι κρίνειν
ὀρθῶς, καὶ μεγάλοις ἐστὶ βάρος χαλεπόν.
Τίς δή ἄρα ἂν γνοίη καίπερ πεπνυμένος ἀρχὸς
βουλὴν, ἢ τὸν νοῦν, ὅντιν᾽ ἕκαστος ἔχει·
τοῦτο δὲ ἀργαλέον, γνωρίζειν τὰς φρένας ἀνδρῶν
τῶν δεινῶν, ἔργῳ ὅττε θέλουσ᾽ ἀπατᾶν.
οὔτ᾽ ἂν, τοὺς θῶπας (καίπερ νόον εἰσὶ ἄριστοι)
ῥηιδίως γνώμῃ θνητὸς ἐὼν περίφυγοι.
τοὺς μεγάλους ὕθλοις τέρπουσιν, φαῦλα λέγοντες,
χρήματα, καὶ δύναμιν πᾶσαν, ἔχουσι βίῃ.
Ἀλλὰ ἡ εἰν ὀδύνῃς λώφη παραμυθία ἐστὶν,
ὅτι βροτοὺς αἰεὶ εὐμενέως ὁ θεός.
κοίρανε ἰάου κακὰ τραύματα, ἄνδρας ἀλιτροὺς,
οἳ ἔργουσ᾽ ἁγιοῦν ὄνομα, σόν τε νόμον.
ἐν πυρὶ βαπτίζων, καὶ πνεύματι, εἰς φάος ἕλκων,
εἵνεκα τῆς κρίσεως, καὶ λόγου ἐργοπόνου.
ὄφρα ἀνδυάζοντες ὀπὶ κλείωσί σ᾽ ἄνακτα,
αἰνοῦντες βουλὴν, ἔργα τε ὅσσ᾽ ἔκαμες.
καὶ ἐμὲ δεῖ χαίροντα χέειν ἐπιμάρτυρα αὐδήν.
αἴθε δύνωμαι νῦν ἠδὲ ἀειδέμεναι.
Ὀρχάμῳ Αὐγούστῳ ἠγήπερ ἔξοχ᾽ ἀρίστῳ,
τῷ ἅμα εὔχεσθαι ὅσσ᾽ ἐπίτελλε θεός.
Ἀλλὰ ῥα τίς θνητῶν σθένος ἢ τάδε πάντα ἀριθμεῖν
ἠὲ γράφειν, γλώσσῃ καὶ στομάτεσσι λέγειν.

ταῦτα ἐγὼ ἐρατοῖ ἐθέλω ἀμαθὴς καταλέξειν,
πλεῖστ' ἂν γράψοιεν πάντες ἐπιστάμενοι.
Νῦν ἂν μνησαίμην· ἀρετῆ πολυβέλτρος ἄλλων,
Ἀμφασίην ἀγαπᾷ, καὶ διδαχὴν καθαράν.
τῶνδε φύσιν μὲν ἐπιχθονίων χαριέστερός ἐστι,
φωνὴν καὶ γλῶσσαν μειλιχόγηρυν ἔχει.
μνημοσύνην, καὶ ἀνάμνησιν, κατὰ κόσμον, ἀρίστην,
ψυχὴν καὶ θυμὸν τλήμονα, ὥστε ἄναξ.
οὐ μὲν ἔχει ῥώμην, μένος, οὐ μέγεθός τε βίην τε,
Ἀλλὰ ἐπιστήμην, νοῦν, ἀγαθόν τε λόγον.
πάντα γὰρ εὐθύνει, ἐφορᾷ, τάττει τε δικαίως,
ὥσπερ ὁ τῶν προγόνων ἦ γένος ἀθανάτων.
ἐχθαίρει κακότητ', ἄρεως πολυδακρύτου ἔργα,
μηδ' ὅπου ὁρμὴν δυσχερέος πολέμου.
μηδὲ βροτῶν ὀργὴν δειμαίνει, μήδε φοβεῖται
ὕφελν, ἐνὶ φρεσὶν τ' ἄλκιμον ἦτορ ἔχει.
Ἆθλα νέμει, καὶ ὅπλα δίδωσι, καὶ ἀνδραποδίζει,
ἠδὲ κατακρίνει ὡς θέμις ἐστὶ νόμῳ.
πικρὸς καὶ γλυκύς ἐστιν, ἐχέφρων ἠδὲ ἀπηνής
λάτρισι καὶ δμωσίν· φησὶ ὁ ὄχλος ἅπας.
χεῖλεσ' ἐπαινοῦσίν μιν ὁμῶς νέοι ἠδὲ γέροντες,
οἵτινες ὀφθαλμοῖς εἰσορόωσι βροτοί.
κωτίλῳ ἀνθρώπῳ ἐχθρός, χαλεπώτατον ἄχθος,
ὀργισθεὶς πᾶσι φθεγγομένοις ἀσεβῶς.
τῶν ἔργων αἰσχρῶν πέλεθ' ἀπαθὴς καὶ ἄεργος.
οὐκ ἔραται κακίης, οὐλομένης τ' ἔριδος.
Σπουδαίως κατίδει βιότου τέλος, ἠδὲ ἀνάγκην,
καὶ ἅμ' ἀνάλωσιν τηρεῖ ἐπικρατέως.

καὶ

καὶ δέμας ἁγνὸν ἔχει, καὶ τοῖς μελεδήμασι χαίρει.
    μισεῖ ἀγχάλλων ψεύδεα, καὶ ἀπάτην.
καὶ ἰότητι θεοῖο θεῶν βουλεύματα φαίνει,
    οὐ πλουτεῖν ἀδίκως, ἀλλὰ θέλει νομίμως.
πᾶσι δίκαια νέμει, βουλῇ τὰ δίκαια δικάζει
    καὶ τάδε ἐκτελέει ἐξ ἰδίης σοφίης.
Ἀρχόμενον τὸ κακὸν κόπτει, καὶ πάντας ὀνήσει
    ἐν χρόνῳ ἀργαλέῳ ἐν φρεσὶν οἶκτον ἔχων.
χρὴ ὑμνεῖν θνητοὺς τὸ γενέθλιον ἦμαρ ἀγαυόν
    ὀρχάμου ΑΥΓΟΥΣΤΟΥ, φαιδίμου ἡγεμόνος.
Καὶ ἅμα εὔχεσθαι κεχαρισμένα δῶρα καὶ ἐσθλά,
    ζωὴν μακροτάτην, ἀθάνατόν τε λάχος.
Συντυχίην ἀγαθήν, γνώμην, ὡς θαῦμα ἰδέσθαι,
    ὄλβον ἔχειν, καὶ τὰ χρήματα πολλά, δίκην.
Σῶμα σαώτερον, ἠρεμίην, θυσίην μέγ᾽ ἀρίστην.
    ἐρρῶσθαι, καὶ ζῆν εὖ τε καὶ εὐσεβέως.
πότμον, κ᾽ οὐλομένοιο φυγεῖν ὠδῖνας ὀλέθρου.
    χῶρον ἀποφθιμένων, κυανέας τε πύλας.
Μειλιχίαις τε βροτῶν ἀκοαῖς εὐχὰς ὑπακούειν,
    ἱλαῷ ἔργ᾽ ἀνδρῶν ὄμματι εἰσοράειν.
καὶ εἶναι πρᾶον, καὶ ὁμόφρονα σώφρονι θυμῷ
    Ἀθανάτοιο θεοῦ ῥῆμα φυλασσόμενον.
Ἠθάδος ἀτρεκίης ἐγκύμονα, καὶ δέμας ἁγνόν,
    γλῶσσαν ἔχειν γλυκερὴν Νέστορος ἀντιθέου.
καὶ λιπαρῶς ἀλέγειν ἐνδήμων, ἠδὲ γεωργῶν,
    εὐγλώσσων τ᾽, ἀγαθοῖς ἀνδράσι ταῦτα μέλει.
τῶν ἰδίων κτεάνων εὖ πάσχεμεν, ἠδ᾽ ἀλεγίζειν,
    τέρπεσθαι πάντως φροντίδι, ἠδὲ δίκῃ.

μηδὲν δειμαίνειν ἐν πράγμασι, ἀλλ' ἐπιτολμᾶν
    θαῤῥεῖν ἔν τ' ἀγαθοῖς κείμενον, ἔν τε κακοῖς.
πειθόμενον καὶ ἔυβουλον χρὴ ἔμεν διὰ παντὸς
    καὶ συνεχῶς γνῶναι πράξιας ὀξύτερας.
ὀξύτερας προβάσης, χαλεπώτατα ἔργα, καὶ ὕβριν
    ὀργὴν καὶ πόλεμον δακρυόεντα πόνον.
τὴν δαπάνην θέσθαι, μελέτην τ' ἔχεμεν συναπάντων
    τῶν ἄλλων σοφίης οὐκ ἐπιδευόμενον.
Σῶον ἔμεν, γνώμην κεδνὴν χρὴ καὶ φρένα τέρπειν,
    πατρίδα εὖ κοσμᾶν, χάρμα φίλοις πελέθειν.
πάντων γινώσκειν ἦθος, κατὰ πάντα δαῆναι
    πράγματα, τὸν θυμὸν, καὶ τρόπον ὅστις ἂν ᾖ.
ὡς μάκαρ, εὐδαίμων τε καὶ ὄλβιος ὄρχαμός ἐστι,
    ὃς ζώει ἁγνῶς, μηδ' ὀλιγοδρανέει.
μέτριος αἰαπιστής. πέλεται μεγάθυμος ἐν ἀκμῇ,
    αἰχμητὴς πιστὸς γῆν τε καὶ ἄστυ σάει.
Ταῦτα λέγουσι βροτοὶ πάντες νέοι ἠδὲ παλαιοί,
    καί τοι εὔχονταί σοι κλέος ἀθάνατον.
Αἰεὶ ἀριστεύειν πάντως τε καὶ ἡνιοχεύειν,
    καὶ κρίνειν σοφίῃ λαὸν ἴσον ψαμάθοις.
Δοὶς θεὸς ὑψιμέδον τούτῳ μὴ πότμον ἐπισπεῖν,
    μὴ βαίνειν γαίης κεύμασ' ὑπὸ δνοφεροῖς.
ἐκ δὲ φυγεῖν καὶ κῆρα τανηλεγέος θανάτοιο,
    εἶναι καὶ θάλλειν ἤματα πάντα σάον.
ὥστε ῥά μιν τιμῶσιν ὁμῶς νέοι ἠδὲ γέροντες,
    τοῦ παίδων παῖδας καὶ γένος ἐξοπίσω.
γήθει οὖν Ἄλβις ποταμὸς, καὶ γαῖα πελώρη,
    σπουδῆς ἀμβροσίης νῦν Βιτέπεργα γέλα.

Ἀκρό-

Ἀκρόπολις, πόλις εὔπυργος, πάντες τε πολῖται,
μοῦσαι καὶ χάριτες χαίρετε, χαῖρε τόπος.
ὑμεῖς τ' ἀμφιπερικτύονες γηθεῖτε ἅπαντες,
καὶ μαρτύρετε νῦν ταῦτα ἅπαντα πόθεν;
ὧδε διδασκόμενος τάδε, νῦν ἔργῳ τε νόῳ τε
ἀσκεῖ, καὶ μουσέων οὐκ ἐπιλανθάνεται.
οὔποτε τῶν ἀρετῶν, ἀνδρῶν τε, διδασκάλου: ἐς ῥα
(μὴ φθονέειν) αὐτῷ δαιμονίως φίλος ἦν.
ὧδε διδασκόμενος στέργει σοφίην τε, νέμοντες,
τὴν δὲ πόλιν δείπνου εἵνεκα, καὶ διδαχῆς.
τοῖς πιστός τε καὶ εὔνοος ὄρχαμος, ἡγεμονός τε
παντὶ δὲ τῷ λαῷ, ἠδέ γε, ἀλλοδάπις.
τίς δὲ βίος; τί δὲ τερπνόν; ἄτερ γνώμης, ἀρετῆς τε
γῆρας ἐν ἀργαλέῳ, ἤδη ἐλαφροτέρη;
εἴ τις νοῦσον ἔχει θυμοφθόρον, αἶψα ἀμύνει
τοῦτον παιδείη, καὶ ὁσίη διδαχή
εἴ τις τοι βουλῶν ἐπιδεύεται, ἠὲ ξα τέχνων,
Ζητέτω ταχέως φρεσὶ γραφὰς ἱεράς.
Αὐτίκ' ἂν εὕρῃσι τί βλάπτοι ἠὲ ἀρήγοι,
ἠὲ φέροι θνητοῖς πᾶσι, τίσι δ' ὠφελέοι
φρεσὶν διδαχῇ, θυμός τε, λόγος τε κεκασμένος ἁγνῇ
τέχνῃ, θρησκείᾳ, ἤθεσι θεσπεσίοις.
ἡ γνῶσις πέλεται τῇ ψυχῇ ἄριστον ἄεθλον.
εὐμαρέως τε φέρειν γίγνεται ἀνδρὶ νέῳ.
κάλλιστόν τε φέρειν τῷ γίγνεται ἀνδρὶ γέροντι.
ἐκ σπουδῆς ταύτης ἀγλαὸν εὖχος ἔλων.
γηράσκω θνητοῖσι μεταπρέπω, ἡνιοχεύει
ἀλκῇ, καὶ δυνάμει, καρτερὸς ὥστε λέων.

Ταῦτά σοι ὑψινεφὴς γενέτης ὃς αἰθέρα ναίει
ἐκτέλεσοι, καὶ ἐπὶ σοῦ ἵλαον ὄμμα ἔχοι.
εὐρυμέδων τε πατὴρ τάδε πάντα σοι ἐγγίαλιζοι,
εὐσεβέως ζώειν, ἡσυχίως θανέειν.
Ἡγεμόνος περὶ ΑΥΓΟΥΣΤΟΥ τάδε πάντα ἐρδουσιν,
παῦρα λέγειν περὶ τοῦ χρὴ θεοῦ ἀθανάτου.
Τίς κεν δὴ σθένος ἢ συνάπαντά νυ ἐξαγορεύειν,
ὅσσα ἔτευξε θεὸς παμμεδέων ὁ πατήρ.
ὅσσα δὲ ποιήσει, καὶ ῥέξει καλὰ βροτοῖσι
πᾶσιν ἐνὶ χθονὶ ὧδ᾽ οὖσιν ἀπειρεσίη.
ἔστι θεὸς πάντεσσιν ὁμῶς ἡ ῥίζα καὶ ἀρχή,
καὶ πάντων γενέτης, ἥλιος ἠδὲ νομεύς.
πᾶς ἀγαθὸς, πηγὴ πηγῶν, ἡ πασιμέλουσα
τῶν ζώντων ζωὴ, τοῦ θανάτου ὁ ἄναξ.
Αὐτογενὴς, φοβερὸς, πιστὸς, μακρόθυμος, ἄναρχος,
θαυμαστὸς, καὶ φῶς ἔκδικον ὄμμα ἔχον.
παντόπτης, δύναμις γνωριζομένη κατὰ κόσμον,
νοῦς μερόπων συνετῶν, φῶς τε βροτῶν νοερόν.
ὑψίθρονος γενέτης, βασιλεύς τε ὑπέρτατος ὄντων,
τῶν δώρων ἀγαθῶν, καὶ δόσεων πέλαγος.
ζηλωτὴς, πῦρ καιόμενον, μεγαλώνυμος ἀρχὸς,
Ἀρχὸς τῆς νίκης χαλκῷ ἐρισθενεῖ.
Ἄφθαρτος, κτιστὴς, παντοτρόφος, ὑψικέραυνος,
Αὐγαῖς καὶ στεροπῇ ἐστὶν ὑπερμεγέθης.
Αὐτοπάτωρ, δώτωρ σοφίας, πρωτοσπόρος ἄρχων,
ποιητὴς πάντων, γῆς τε ἀπειρεσίης.
ψυχοδότης, βασιλεὺς κόσμου, ἀφατῶν τε, φατῶν τε,
Ῥητῶν τ᾽, ἀρρήτων τ᾽, ἐσθλοδότης πέλεται.

παντο-

παντοκράτωρ θνητὸν βριάων, βριάοντα χαλέπτει,
ἰθύνων σκολιὰν τὴν τίσιν ἀνταποδοὺς.
καὶ μινύθει τὸν ἀρίζηλον καὶ ἄδηλον ἀέξει,
καὶ ἄμπαυμα κακῶν πᾶσι δίδωσι νόμῳ.
τίνει ἐκπάγλως θείων ἀδαήμονα ἔργων
ὀργισθεὶς πέει τὴν βροτέην σοφίαν.
Ὄρνιθας, τε καὶ οἰωνοὺς, ἀεροσκοπίην τε
μαντείαν, ψεῦδος, δυσσεβῆ ἔργα νέου.
Οὓς θλίβει κακιῶν χάριν, ἃς βουλῇ ἐτέλεσσαν,
ἤματι ἐν λαμπρῷ, νυκτὶ ἐνὶ δνοφερῇ.
πάμπαν, ἐπισταμένως ἀμαθῶς τ', ἀμαθής τε, μαθής τε,
ἤματι χειμερίῳ, ἤματι εἰαρινῷ.
ἤματα ἀλγινόεντα, λύπην δειλοῖσι βροτοῖσι
πέμπει σὺν χαλεποῖς πήμασι, αὐτοφυής
τὴν δὲ δικαιοσύνην ἰδίην ἐπιφαίνει ἑκάστῳ,
εὐσεβέας τε βροτοὺς ὡς ἐὸν ἔμμα φιλεῖ.
Ῥῆμα, νόμον τε ἐὸν μύθῳ τ' ἔργῳ τε βεβαιοῖ.
στηρίζει βουλῇ, καρτερῷ ἠδὲ μένει.
Συγγινώσκει ἐπιχθονίοις, καὶ φείδεται ὀργῆς,
ὡς θεὸς οἰκτίρμων, ὡς βασιλεὺς ἀγαθός.
ὡς ἐπέοικεν ἄνακτι, ἑκὼν φρονέει περὶ ἡμῶν
πάντων, πάντ' αὐτῷ ἔργματα καλὰ μέλει.
Ἀγρυπνεῖ οὖρος τῷ ἐν οὐρανῷ εὐρεῖ ὑπάρχων,
πένθος ἐπαγγέλλων ἠδ' ἅμα χάρμ' υἱετῷ.
Ἄλγεα καὶ στοναχὰς πέμπει, καὶ ἀμφὶ γαλήνην,
ὀρχησμὸν, τέρψιν, γηθοσύνην καθαρήν.
Αὐτὸς ναὶ μεγάλοισι νοήμασι κόσμον ἐλίσσει,
φροντίζει, ἀθετεῖ τ' ἀνέρα πάντα κακόν.

ἐντεῦθεν δ᾽ ἀγάπη λάμπει ὡς ἕσπερος ἀστήρ,
    πιστός, καὶ οὐ μὴ νηλεὲς ἦπερ ἐών.
καὶ ἡμᾶς στέργει, ναὶ ὡς πολυφίλτατα τέκνα.
    καὶ τρέφει βιοτὴν, εἵματα, ἠδὲ δόμεν.
Δαῖτα δὲ εὐθύμως ἡμῖν περικαλλέα τεύχει,
    Δαῖτα μινυνθαδίην, δαῖτα τ᾽ ἐπουρανίην
Σώματος Ἰησοῦ, καὶ τοῦ βαπτίσματος αὐγάς,
    καὶ ὀρέχει οἶνον, πίονά τ᾽ ἀγρὸν ἑκών.
κοίρανος ὑψίθρονος τελέθει, πάντων τε φέριστος,
    ψυχοτρόφος, δὴ καὶ οἶμος ἐτητυμίης.
ἰσχυρὸς ἠδὲ πολύσπλαγχνος φρεσὶν, νοῦς κ᾽ ἐλεήμων,
    Δοὺς λιπαρῶς θνητοῖς ὅσσα θέλουσιν ἔχειν.
καρπαλίμως ἄρα δεῦτε φίλοι μέροπες συνάπαντες
    εὐαγέως ἡμᾶς χρὴ θεὸν εἰσοράαν.
Δεῦτε φίλοι θνητοὶ πολυλήιοι ἠδὲ πένητες
    Δεῖ ἡμᾶς μέλπειν γλώσσῃ ἄνακτα θεόν.
θαύμας᾽ ἔργα θεοῦ θείῃ τετελεσμένα βουλῇ
    χρὴ σάλπιγγ᾽ ὑμνεῖν αὐτοβόητα λάλῳ.
ἔργα θεόσσυτα δεῖ κλείειν χαρίεντα βροτοῖσι
    πνευματικαῖς ὁρμῆς, καὶ ὀπὶ θειοτάτῃ.
πάντες ἐπιχθόνιοι αἰνεῖτ᾽ αἰνεῖτε ἄνακτα,
    κῦδαιν᾽ ἐσθλοδότην σάρξ συνάπασα θεόν.
πᾶσα φύσις κήρυττε θεὸν, θεὸν ὑψικέραυνον,
    ὦ ἄγγελλ᾽ αὐτοῦ κύδιμα ἔργα βροτοῖς.
ἦμαρ νύκτ᾽ ἀνέροι, ἡ οἱ ῥοδόπηχυς ἠώς,
    καὶ αἰῶν᾽ αἰών, καὶ γένεσις γενεῇ.
πᾶς βροτὸς ἱμερόεντα ἔποι εἰς αὐτὸν ἔπαινοι,
    κηρὶ λέγοι τί ἐγὼν εἰμὶ ἁλιτρός, ὄναρ.

Ὅσσα

Ὅσα ἐγὼ κτεατίζω, ἔασι θεοῦ μεγάλοιο,
Αὐτὸς ἔδωκε ἐμοὶ πάντοθεν, ὅσα φέρω.

Ὅσα κομίζω ἐγὼ, ἐσθῆτα, μέλη τε ἅπαντα,
Σῶμα, ἐμὴν ψυχὴν, οὔατα, αἷμα, νόον.

πάντα σέθεν γεράασιν, ἐγὼ μόνον ἐν σοὶ ὑπάρχω.
καὶ διά σε ζώω, εἰμὶ ἐγὼ διά σε.

Σὺν πατρὶ ἀενάῳ συνέλαμπε ὁ υἱὸς ἀμήτωρ
Φῶς κόσμου, δύναμις τοῦ πατρὸς αὐτοφύτου.

ἡδὺς ὑψίστοιο θεοῦ, φῶς ἐκ φάεος φῶς,
χραισμήτωρ φωτῶν, ἀνδρομέου τε βίου.

Αὐτοφύτοιο θεοῖο ἐν ἀῤῥήτῳ λόγος ἀρχῇ
ποιμὴν, καὶ βασιλεὺς οὐρανίων ἀδύτων.

Ἀπλανέος ζωῆς φάος ἔμπεδον, αὐτοδίδακτος,
ἡδυεπὴς, μεδέων, ποικιλόδωρος ἄναξ.

κύδιστος, καὶ ἀλεξίμορος. ναὶ ἔργα ἀναίρων
Δαίμονος ἀντιπάλου ἐχθροῦ ἀμαιμακέτου.

Σωτὴρ, οἰκτίρμων, πολυήρατος, ἄχραντος, ἁγνός,
ἡμᾶς τοῦ ᾅδου ῥύεται, ἠδὲ πυρός.

Δῶρα πορεῖ πρόφρων, κειμήλια πολλὰ καὶ ἐσθλά,
Σήματα τῆς χάριτος δείκνυσι ἄμμι βροτοῖς.

οὐρανόθεν πέμπει τὰ πολύτροπα φάρμακα νούσων,
ὀργῆς καὶ ζωῆς, καὶ θανάτοιο τέλος.

οὐ πτωχοὺς ἐθέλει, μηδὲ αἰσχρῶς γαστέρα βόσκειν
Ἀλλ' ἀπὸ τῶν ὀλιγῶν ζᾷν, τε καὶ οἰκονομεῖν.

καὶ δαπανᾶν συνετῶς, καὶ μοχθεῖν χερσὶν ἔπειτ,
κτήμασιν εὖ χρῆσθαι, ἀκτεάνοις τε δόμεν.

αἰσχρὸν πτωχεύειν κατὰ δῆμον, μηδὲν ἀνύσσειν,
πολλάκι καὶ ἀργεῖν ἐς ἀνιηρότατον.

χρὴ

χρὴ ἄρα τι πράττειν, καὶ φεύγειν λιμὸν ἀτερπῆ,
εἵνεκα χειμῶνος, ναυτιλίης ἕνεκα.
τὴν δὲ ἀπορρίπτειν νὴ ἐς μεγακητέα πόντον
πλουσίαν, καὶ τὴν οὐλομένην πενίην.
καὶ παρὰ παγγενέταο θεοῦ ὑγίεια ἀμεμφής
πᾶσι βροτοῖς δίδοται, ἠδὲ λύσις θανάτου.
τερπωλή, ἐσθής, βρῶσις, καὶ δῶμα, πόσις τε,
εὐκλείη, σοφίη, τερπνότατός τε κόρος.
Ταῦτα ἅπαντα ἐπῆ παλάμῃ θεοῦ υἱὸς ἀγήρως
Ἀνθρώποις παρέχει πνεύματι σὺν νοερῷ.
πνεῦμα φιλάνθρωπον τελέθει, τε καὶ ἀρχεγόνον φῶς,
πάντα βροτοῖς ὀπὶ τῇ θεσπεσίῃ φανεροῖ.
κερτομίοις ἐπέεσσιν ἀπηθέα κόσμον ἐλέγχει
τῶν δὲ χάριν κακιῶν, ἠδὲ χάριν κρίσεως.
Ὀρθὴν πίστιν ἐν ἀτρέπτεῳ τινὶ θεσμῷ ἀέξει.
Φωτίζει ἐς γῆν ἀνέρα ἐρχόμενον.
Οἶμος ἀληθείης, εὐεργετικός, τε καὶ ἁγνός
ἔστι παράκλητος ἐκ παρὰ πατρὸς ἰών.
οὐρανόθεν βαίνει ἔμφρων ἐς ἀπείρονα γαῖαν,
ἄχραντος, καθαρὸς τῇ ἰότητι θεοῦ.
Σὺν μεδέοντι θεῷ, καὶ τῷ πολυηράτῳ υἱῷ
πνεῦμα τὸ ἰσόθεον πανταχοῦ ἡνιοχεῖ.
πάντα βλέπει καὶ ὁρᾷ σὺν τῷ χραισμήτορι κόσμου
Ἰησοῦ χριστῷ, σὺν πατρὶ ἀενάῳ
κύμβαχος ὀκλάζω, τριάδος σέλας εἰς ἓν ἰούσης.
κεδνὴ καὶ ἁγνὴ τριοσοφαὴς θεότης.
αἷμα, νόον, ψυχήν, κυρτούμενον αὐχένα κάμπτω,
μάρτυρον ἱκεσίης, εἵνεκα τῶν δοσέων,

εὔχομαι

εὔχομαι, αἰτίζω τε φιλοστόργῳ τινὶ μύθῳ
ἁγνὰ τριὰς σὺ δέ μου κλῦθι καὶ ἐσθλὰ δίδου.
εὐχαῖς αἰνῆσαι σε θεοκλήτῳ παρὰ βωμῷ,
Δεῖ καὶ ἐν οἴκῳ, ἀνδράσι ἐν μεγάλοις.
Αὐχένα δοχμῶσαι, αἰεὶ σε τριὰς μονόσεπτος.
αἰνῆσαι χρὴ, ἕως γῆ πέλε, ἠδὲ βροτός.
Σὲ προσπίπτοντες γουνάζομεθ' ἡδεῖ μύθῳ,
Νῶ, καὶ ἔπειτα, καὶ ἐν πήμασι ἱστάμενοι.
κυδαίνειν θεότητα ἔδει ἐτυμηγόρῳ αὐδῇ,
ἤματος ἀρχομένου ἠδὲ ἀπερχομένου.
ὥστε τύπος θεοῦ αἰδοίου σφετέρα γεραίρειν.
ὡς κληστὴν ἐθέλω οὐρανοῦ ἠδὲ γῆς.
Ἀλλὰ μόγις, ψυχρῶς τε, ἐθήμονος ἔμπλεος ἄτης,
βακχεύω, διὰ τὰς μαίνομαι ἀμπλακίας.
Δοῦλος ἀλιτροσύνης ὀλοφύρομαι, ἀχνύμενος κῆρ,
καὶ κλαίω ὀδύνῃ, ἔργα βίου σφαλεροῦ.
ἰχανόω ἁγνῇ θεότητι πελάσσαι ἄμωμος,
Ἀλλὰ ὁδοιπορέων βαίνω ὁδὸν σκολιήν.
Δυσσεβίην μᾶλλον στέργω, ὡς κόσμος ἀλήμων,
ἠδὲ τύπον στρωφῶ ἀργαλέοιο βίου.
Ἄλγος ἀτασθαλίης ἐμὲ πολλάκι, οἷα τιν' ἰὼς
ἐς δῆριν καλέει, καὶ δίχα θυμὸν ἔχω.
Καὶ ἀμφισβητῶ τι πράξω ἢ τι ῥέξω,
Αὖθις ἐπεχθαίρω οἶμον ἀλιτροσύνης.
πρός σε ἄρ ἔρχομαι αἰάζων θεότης μονόσεπτος
Δὸς λύσιν κακίης, ἀμπλακιῶν τε τέλος.
θυμῷ ὀδυρόμενος πίπτω ὑπὸ γούνασι σεῖο,
Ἄμπνευσιν κεδνὴν δὸς καμάτοιο τριάς,

Νῦν μόγις ἆσθμα φέρω, οὕτω πολλῇς κακότησι
ἔνθα καὶ ἔνθ' ἐν τῷ κόσμῳ ἐλαυνόμενος.
Δυσμενέων φιλίων τε ἐμοῦ, πολλῶν τε ἑταίρων
ἠδὲ κασιγνήτων, ὧν μεγάλη δύναμις.
ὧν μεγάλη ὕβρις, μανίη, φθόνος ἠδὲ ὁ μῶμος,
τῶν δὲ κακῶν πάντων μυρίοις ἀμφιμακέτη.
οὕτω πάνδειλος ζώει πολύμορφος ὁ κόσμος,
πᾶς θνητὸς χαλεπῇ τειρόμενος πενίῃ.
οὕτω δύστηνος πέλεται, καὶ τοὔνεκα εὐχαῖς
πρὸς σε τριὰς κεδνὴ ἔρχεται ὄχλος ἅπας.
ὦ ἐλέησον ἐμὲ, σπλαγχνιζομένη ἐπὶ λαόν,
Ἀντὶ κακῶν ἁγνὴ δὸς πόλον ἄμμι τριάς.
τῶν εὐεργεσιῶν κρήνη, καὶ πηγὴ ἐάων,
τῶν τ' ἀγαθῶν δώρων καλλίροος ποταμός.
Οἴδματι θυούσῃ, καὶ παφλαζούσῃ ἀρίστοις
κτήμασι, ὡς αὐτῆς οἶκτος ἐλευθερίης.
ὡς ἔλεος χαρίτων, αὐτὸς κεχαρισμένος ὄμβρος,
ὡς ζωῆς ἀρχὴ, εἴς ἔτι σώζε βροτούς.
Χαίρετε ἄνθρωποι τὰ ἅπαντα τελείεται ἡμῖν,
καὶ δώσει ὑμῖν μάννα, ἔδεσμα, νομήν.
ὧν χάριν οὖν εὐεργεσιῶν, δοσέων τε ἁπασῶν
χρὴ βασιλῆα θεὸν σεμνολογεῖν ἁγίως.
κοίρανον αἰνέσεως οἰκτίρμονα ἀμφιπολεύειν,
κυδαίνειν θυμῷ καὶ ἐπέεσσι ἄγαν.
γινώσκειν σταθερὴν κεῖνον μόνον ἐλπίδα κόσμου,
Ἀρχὸν ἀληθείης, οὖρον ὑπερδύναμον.
ὡς κόσμοιο μόνον χραισμήτορα κῆρ φιλῆσαι,
θαυμάζειν τούτου ἔργα τελειότατα.

εἵνεκα

εἵνεκα τῶν δώρων χρηστῶν θαμβεῖν ἀνὰ θυμόν.
τὸν μόνον εὔχεσθαι καὶ γενετῆρα καλεῖν.
καὶ κράζειν ἅμα ἀββὰ, ἀοσσητῆρα ἁπάντων,
ἠδὲ γονῆα λέγειν ταῖς φρεσὶ θαρραλέως.
εὐαγέως κεῖνον τιμᾶν περὶ πάντα τοκῆα.
Δεῖ, τε καὶ ἐλπίζειν τοῖο κακοῖο λύσιν.
εἰ δὲ τίς ἐστιν ἀνὴρ, ὃν ἄχος περὶ θυμὸν ἐλίσσει,
θάρρει, τὸν πιστὸς χειρὶ βοηθεῖ ἄναξ.
ἧς ῥα οὐ ἔπλησεν ὅλην φρένα πενθὰς ἀνίη,
ἡσυχίαν ζητοῖ, ἣν παρέχει ὁ θεός.
στέργετε ἄνθρωποι οἰκτίρμονα, αἰὲν ἐόντας,
ὃς ποίησε γαῖαν, οὐρανὸν, ἠδὲ ἅλα.
πάντες ἐρᾶτε, μόνον τε γεραίρετε ὀβριμοεργόν
ὃς μεγάλῃ ἐνὶ γῇ κτίζει ἅπαντα λόγῳ.
ἰσχυῖ θεσπεσίῃ ἐκβάλλετε αἴσυλα ἔργα,
ἃ βροτὸς, ἀλλὰ κακῶς, ἐκτελέειν ἐθέλει.
Ἀρτιεπεῖ αὐδῇ τοι κλείετε ἀστεροπητήν,
ᾧ μέλεται ἡμῶν πανταχοῦ, ὥστε τοκεῖ.
κλείετε πάντες ἀδειμάντως, καὶ μάρτυρι φωνῇ,
ὅς ἐσθῆτ' ἡμῖν, σὺν βιοτῇ παρέχει,
ὃς καὶ ἀμφιέπει δαίτην ἐρυκυδέα δαῖτα,
ὕδωρ, καὶ νέκταρ, καὶ ποτὸν οἰνοχοεῖ.
ἡμῖν χεὶρ ὀρέχει ὡσεὶ τεκέεσσι φίλοισι,
Δῶρα ἅπαντ' ἡμῖν διζομένοισι πορεῖ.
καὶ αἰεὶ παρέοντα κιχοῦμεν, ὁρῶντες ἐκεῖνα
ἔργα, ἅρ' ἃ θνητὸς μὴ δύναται τελέειν.
τὴν ἄτην, τηλοῦ δὲ κακὰς ἀπὸ κῆρας ἀμύνει,
καὶ φρένα, καὶ θυμὸν τέρπεται ἡμέτερον.

χαίρετε νῦν ὥσπερ φωτὸς τέκνοις ἐπέοικε,
        χαίρετε τῷ θυμῷ, ὡς φίλα τέκνα θεοῦ.
φεύγετε τὴν κακίαν, ϗ ἑταιρείαν κακοέργων,
        ϗ θεὸν ὕψιστον μέλπετε καλῇ ὀπί.
ζώετε γοῦν ὡσεὶ τέκνοις χρηστοῖς ἐπέοικε
        ζώετε εὐφήμως ὡς φίλα τέκνα θεοῦ.
πάντες γηγενέες διδαχὴν, ζωὴν τε ἀμέμπτον
        ἀστεμφεῖς ἔχετ᾽ ὡς δῶρα μέγιστα βίου.
οὐ μὴ ἦτε θεοῦ ἀδαήμονες, ὥστε τὰ ἔθνη,
        ζητεῖτ᾽ οὐρανίην κοιρανίην πρότερον.
Δεῦτε φίλοι ἄνδρες σπουδὴν φιλόμοχθον ὁρᾶτε,
        στέργετε νουθεσίην ϗ χαλεπὴν ἀρετὴν,
στέργετε παντοίης ἐρατῆς μυστήρια τέχνης,
        παντοίην φιλίην, ϗ βιότου παλάμην.
ἠγαθέην δύναμιν, διδαχὴν πολύϊδριν ἐοῦτην,
        ποικίλα τῶν μύθων ἄνθεα, ϗ ἀγαπήν.
γνῶσιν ἐρᾶτε θεοῖο ἐριλαθενέος κατάδηλον,
        ἐλπίδα καὶ πίστιν νόσφιν ἄτερ σκοτίης.
Ὄμμασιν αὐτόπται τὰ ὀλύμπια δώματα πάντες
        γηγενέες συνετῶς βλέψατε, ϗ πινυτῶς.
θαυμαστὸν γενετῆρα φίλῳ γινώσκετε θυμῷ
        κράζετε νωλεμέως δὸς λέγον ἄμμι πάτερ.
πέμπε δὲ εἰρήνην κουροτρόφον ἀνδράσι πᾶσι,
        παυσωλὴν ὀδυνῶν, ἡσυχίην θαλερήν.
Αἴολα εἰρήνης περικαλλέος ἔργ᾽ ἐρατεινά,
        ἄρρηκτόν τε ὁμοῦ δεσμὸν ὁμοφροσύνης.
εἰρήνη ἔστω ἐνὶ τῇ ἐκκλησίᾳ ἁγνᾷ,
        βένοις, ϗ οἴκοις, εἰν ἀγορᾷ, ϗ ὄρει.

Νῦν

Νῦν οὖν μυστιπόλοι, τε καὶ ἄγρυπνοι ἱερῆες,
κυρίῳ αἰδοίῳ ῥέζετε εὐμενέως.
στήθεσι ἀχράντοισι τελεῖτε τὰ ὄργια ἁγνά,
πᾶσι δὲ πειθομένοις δείκνυτε ἔργα θεοῦ.
μῦθον ἀληθείης ἰθύνετε παμβασιλῆος.
θαύματα, καὶ δόξαν, οἶμον ὀφειλομένην.
εὐφημεῖτε φίλοι μύσται ἐτυμηγόρῳ αὐδῇ
ἤδη οἱ ἐσώτες κυρίου ἐν ἀδύτοις.
καὶ θεὸν αἰέναον κηρύσσετε μάρτυρι λαῷ
ἀμβροσίῃ φωνῇ, πρώτῃ ἐν ἀμφιλύκῃ.
Καὶ ἐν ταῖς νυξὶν, καὶ μέσσῳ ἤματι, αἰεί,
κῆρι θεόπνευστον θ' ὕμνον ἄηδετ' ἄφαρ.
χεῖρας ἀνασχόμενοι λίσσεσθε διδάσκαλοι ὀρθῶς,
τόνδ' εὔχεσθε θεὸν δυσσεβιῶν ἕνεκα.
Ἀϊδίοιο θεοῦ γνῶσίν τε διδάσκετε πάντως,
ζωὴν ἐσσομένην, γράμματα, ῥῆμα, λόγον.
στήθεα τῶν ἀχέων ταχὺ χερσὶ πατάσσετε μεστά
εἴπατε, πᾶσι βροτοῖς ἤπιος ἴσθι θεός.
Δεινὰ βαρυστενάχων σύναπας βροτὸς εἰπὲ πενθώς.
ἵλαος αὐτοκράτωρ ἴσθι ἀλιτρῷ ἐμοί.
ἤτω ἑκὼν θνητὸς θυμῷ κραδίῃ τε ταπεινός,
φευγέτω ὑψηλοὺς καὶ μεγαλοπρεπίας.
ὑψίνοος κραδίῃ νυ πέδαις χαλκεύεται αὐτῇ,
σφόδρα θεὸς μισεῖ ὄγκον ἀγηνορίης.
Ὅς τε μέγα πνείει, καὶ ἔχει τὸν ἀγήνορα θυμόν,
ἐστὶ θεῷ ἐχθρός, ζηλομανής τε κακός.
Δυσμόρφου σατανᾶ παράδειγμα διδάσκει ἅπαντας
οὐλοοῦ ἡρώδου τοῦ ἀλαζονικοῦ.

Τοὔνεκα

Τοὔνεκα γηγενέες δειμαίνετε ἠδὲ φοβεῖσθε.
μὴ ὑμᾶς ὀργὴ ἀθανάτου ὀλέσῃ.
πᾶς βροτὸς εὐχέσθω, τὰ ἐλεύθερα χείλεα λύσας,
καὶ λισσέσθω ὁμοῦ εἵνεκα ἀμπλακιῶν.
Φευγέτω ἐξαπίνης κινδύνους, δυσσεβίην τε,
πλῆθος ἀτασθαλιῶν, αἰσχρὸν ὄνειδος, ἄχος.
Δειλὰ ἔπη τε, διχοστασίην, καὶ πλάσματα πάντα,
τῆς σαρκὸς φαύλης ἔργα πολυπλανέα.
Νήφετε γοῦν λιτανεύοντες θεὸν ἀστεροπητὴν
Νῦν χρόνος ὀκρυόεις, καὶ πύματος πέλει.
Ἀτρεκέως θνητοῖς τόδε εὐφρονέων ἀγορεύω,
ἐγγίζει χειμών, σήματα, πῆμα, πλόος.
ἐγγίζει τὸ θέρος θέρεος καματώδεος ὥρη,
καιρὸς τῆς κρίσεως πατρίδος οὐρανίης.
θυμῷ οὐρανίην γινώσκετε πάντες ὀπωπήν.
παντοίους ἀνέμους, ἄστρα τε καιόμενα.
Ἀστέρα λαμπετόωντα, καὶ ἠέλιον φαέθοντα,
τὴν αἴγλην μήνης, κτίσματα πάντα, φύσιν.
Βλέψατε ἐμματέως εἰς οὐρανὸν αἰολόμορφον,
βλέψατε εἰς τὴν γῆν, ποιεῖ ἅπαντα θεός.
πάντη ἅπαντα σοφῶς, ἀγαθὴ κεκαλυμμένα σιγῇ,
στέργει ὀρφανικούς, ἄνδρα τε κυριακόν.
Ἄνθεα, ὄρνιθάς θ' ἡμῖν ἐπιδείκνυσι, πολλοὺς
Ἀγροὺς, λειμῶνας, κ' ἀμπελόεν πεδίον.
Ταῦτα φιλεῖν εἰρήνην, ταρβεῖν θ' ἁγνῶς βιοτεύειν,
ὑψινεφὴς ὁ θεὸς θεσμῷ ἀνώγει ἑῷ.
πλοῦτον ὑπερμέτρως ἀγαπᾶν κωλύει ἀληθῶς,
χρήματα θηρεύειν ὡς θέμις ἐστί, θέλει.

μή

μή ποτε δουλεύειν τῷ μαμμωνᾷ κακὸν ἔργῳ,
Ἀλλὰ δίκην ὁσίην, καὶ τὸ δίκαιον ἐρᾶν,
πάντα ὁρᾷ, καὶ δαιδάλλει, καὶ ἅπαντα κυβερνᾷ,
πάνθ᾽ ὑπερασπίσιης καὶ τρέφει εὐλογίης.
τοὺς θνητοὺς κόσμει ἀνοχῇ, συνέσει τε, λόγῳ τε,
ἠδὲ δίδωσ᾽ αὐτοῖς εἵματα, δῶμα, ποτόν.
στήθεσι τῷ θείῳ μύθῳ, κραδίης τε ἐνοικῶν,
ἠδὲ πυρῶν πέλεται ἐν χθονὶ καρποφόρῳ.
εὔνοος ὤν, ἡμᾶς οἰκτροὺς ἐλεαίρει ἅπαντας,
καὶ τοὺς εὐχομένους εἰσαΐει μεμαώς.
Δαψιλέως τοι πρὸς βιοτὴν συνάπαντα ὀπάζει.
Ἄμμι μόνον μελέτω ζωὴ ἐπουρανίη.
τῶν πτερῶν ὄρνιθας κοσμεῖ, καὶ πάντα πετεινά,
τοὺς ἀγροὺς βοτάνῃ, δένδρα τε τοῖς πετάλοις.
οὐρανὸν ἐκτείνει, ὡς δέρριν, κύκλοσε εὐρύν,
λειμῶνας πληροῖ ἄνθεσι, ἠδὲ πέδον.
ἐκ δένδρων φύει πρόφρων ἅμα φύλλα καὶ ὄζους,
ἐκ γῆς καὶ ὀρέων κτήνεσι πᾶσι νομήν.
καὶ ἀναβαλλόμενος φῶς ὡσεὶ εἵματα, πέμπει
μουσῶν καὶ χαρίτων ἀγλαὰ δῶρα βροτοῖς.
παντὶ δὲ τῷ ἀνέμῳ, νεφέλαις, βασιλεῖ τε ἀνάσσει,
καὶ πλήθει ἁγίων, ἀγγελικῶν τε χορῶν.
Τοῦ δ᾽ ὀργιζομένου τρομέει ἡ αἶα καὶ ὕλη,
οἱ δὲ χαμαιγενέες, κνώδαλα, πᾶσα φύσις.
καὶ τοῦ γηθέντος, γηθοῦσιν θηρία πάντα,
πάντες ἐπιχθόνιοι τὸν χόλον ἀζόμενοι.
καὶ ὁ ἀνὴρ ἄδικος, καὶ ἀτάσθαλος, ἠδὲ δίκαιος,
τὴν ἀλέουσιν ἰθῶς μίαν ἐπουρανίην.

κλίζο.

κλιζομένου σφαλεροῖο θεμείλια εὐρέα κόσμου
Σείει ἡ ὀργὴ, καὶ στεροπὴ φλογερή.
καὶ ὕων, παρέχει τῇ γῇ φυσίζοον ὄμβρον,
Ἀρδεύων κρημνοὺς οὐρανίοις ὕδασι.
Καί ῥα ποτίζει ὄρη, τὰ πετεινὰ τοῦ οὐρανοῦ αἰπῦ,
θρέμματα, καὶ κτήνη, κνώδαλα πάντα γένους.
Ὅσσα περ ἤπειρος τρέφει ἠδὲ θάλασσα καὶ αἰθήρ,
ἐμπλήθει ἀγαθῆς χῶρον ἅπαντα βορᾶς·
ἐξανατέλλει ὁμοῦ χόρτον καὶ βρώματα ἶφι,
ἔνθα καὶ ἔνθ' ἄρτον, σώματα, ἠδὲ νομεῦσ.
Οἶνόν τ' εὐφραίνοντα βροτῶν τὴν θυμὸν ἀγαυῶν,
καὶ ὃ στηρίζει τῶν μερόπων κραδίην.
χορτασθήσονται πεδίου ξύλα, δένδρεα πάντα,
κέδροι, ταὶ ὕλαι, θηρία, καὶ πρόβατα.
εἰς καιροὺς φέγγος, καὶ τὴν ποίησε σελήνην,
Αὐγάς τ' ἠελίου, ἄστρα φαεινά, πόλον.
ἡνίκ' ἔθηκε σκότος ἐπέχεον, καὶ νυκτὸς ὁμίχλη
κυανέης πολλῇ ἡσυχίῃ γέμεται.
καὶ παρὰ τῷ θεῷ αἰδοίῳ αἰτοῦσιν ἅπαντες
Σκύμνοι οἱ ὠμοφάγοι βρῶμα, πέσιντε, βοῇ.
καὶ διαλλάσσονται ἀνὰ νύκτα τὰ θηρία ὕλης
ζητεῖν δὴ πινυτῶς ἔνθα καὶ ἔνθα βορήν.
εἶτ' ἀνατέλλει ὁ ἥλιος γαιήοχος αἴγλῃ.
Αἶψα συνήχθησαν πρὸς τὰ μέλαθρ' ἰέναι
εὕδειν· οἱ δὲ βροτοὶ διεγείρονται ἐπὶ ἔργα,
ἔργ' ἐπιχειροῦντες τὸν συνέντα πόνον.
Μοχθίζοντες ἕως ἐπὶ τὸ κνέφας ἱερὸν ἦλθε.
πάντῃ ἕως φαέθων ἥλιος κατέδυ.

Αὐτίκα

Αὐτίκα ἄνθρωποι, ὁ μὲν ἀλλοπρόσαλλος ἀπῆλθε,
καὶ τότε μοχθηροὺς μαλθακὸς ὕπνος ἔλει.
ὧδέ τι, ὥστε νόημα, παρέρχεται ἄλλος ἐπ' ἄλλῳ,
γηγενέας πάντας μοῖρα κιχεῖ θανάτου.
κοίρανε ἐν κόσμῳ τάδε ὡς θαυμαστὰ σοῦ ἔργα,
πάντα ἐποίησας τ' ἐν σοφίᾳ μεγάλῃ.
ἡ γῆ πληρώθη τοῦ κτίσματος, οὐδὲ ἀριθμεῖν,
οὐδὲ λέγειν στόμα, καὶ γλῶσσα βροτῶν δύναται.
βλέψατε τὸν πόντον, καὶ εὐρέα νῶτα θαλάσσης,
ἑρπετὰ πολλὰ ἐκεῖ, ζῶα πολλὰ ἐκεῖ.
πρός σε προσδοκέουσιν ἅπαντα ῥα δοῦναι ἐδωδήν.
εἰς ὥρα εὔκαιρον χειρὶ βορὴν παρέχειν.
Δέντος σοῦ αὐτοῖς συλλέξουσιν κατὰ μοῖραν,
καὶ ἅμα λείψονται, ὡς πρέπει, ἀσπασίως.
ἠνίκα δ' ἀνοίξαντός σοῦ χεῖρα, πελώρη ἡ αἶα,
καὶ πλησθήσονται κύματα γηθοσύνης.
πάντα ἐλευθερίης: σοῦ ἀποστρέψαντος ἐν ὀργῇ
Αὐχέν', ἀνήκεστον πένθος ἔχουσι μόρῳ.
Αἶ αἶ ἀποθνήσκουσι, καὶ οὔ τίπος ἐστὶν ἐκείνων,
καὶ τῶν μνημοσύνην γίγνεται οὐδεμία.
κοιράνῳ ἤτω ἀεὶ εὐκλεὴς δόξα καὶ αἶνος
εἰς τοὺς αἰῶνας χάρμα τελειότατον.
Κύριον ἀΐδιον τῇ ἐνὶ ζωῇ μου ἀείσω,
τόν τ' αὐτὸν κλείσω ἀνθερεῶνι ἑκών.
Τῷ θεῷ ὑψίστῳ ναὶ ἕως ἐνὶ κόσμῳ ὑπάρχω
τῷ ψαλῶ αἰδοίως ὡς θέμις ἐστι ἰόῳ.
ὦ ἡδυνθείη ὁ ἐμοῦ λόγος, ἆσμά τε αὐτῷ
θυμῷ γηθήτω τῷ ἐπ' ἄνακτι θεῷ.

ἐλλείποιεν ἁμαρτωλοί, ἄνομοί τ' ἀπὸ γαίης,
Ἀλλὰ πολὺ πλεῖον πράγματα πάντα κακῶν.
εὐλόγει ἡ ψυχὴ τὸν κοίρανον, εὐλόγει αἷμα.
ψυχή μου ἀγαθὸν κοίρανον εὐλόγεε.
πᾶσα φύσις καὶ κτίσμα ὅλου κόσμοιο, καὶ ἄστρα
Αἴνοισιν μεγάλως σεμνολογεῖτε θεόν.
πάντες ἐπιχθόνιοι ὑμνεῖτέ μιν ἐν χθονὶ πάσῃ
ἔθνεα, καὶ λαοὶ κλείετε ἔργα θεοῦ.
καὶ ἐπὶ τῷ θεῷ αἰδίῳ τίθετ' ἐλπίδα ὦκα,
καὶ θαῤῥεῖτ' αὐτῷ νῷ, φρεσί, θυμῷ ὅλῳ.
θαρσαλέως κείνου ἁγνοῖς πιστεύετε μύθοις,
πράττετε ὅσα θέμις, ῥέζετε ὅσα θέλει.
Ῥίζα φίλη πάντων ἀγαθῶν, καὶ πηγὴ ἐάων,
Δώτωρ τῶν καλῶν καὶ ἁγίων τελέθει.
Ἄσομαι ἀκαμάτως κῦδος, καὶ ἔπαινον ἐκείνου,
καὶ λιγυρῇ φωνῇ θέλξω ἄνακτα ἐμόν.
Σεμνολογήσω ἕως ἐγὼ ἐν τῇ γαίᾳ ὑπάρχω
ὑψιμέδοντα θεὸν τὸν γενετῆρα φίλον.
Ὀβριμοεργὸν ἄειδε θεὸν τόδε σῶμα καὶ αἷμα,
τοῦτον σεμνολόγει ἔθνεσ' ἐν ἀλλοδαποῖς.
πλησθέντες θνητοὶ ἐκ πνεύματος ἰσοθέοιο
ὦκα μετ' ἀλλήλων ᾄδετε εὐπρεπέως.
Νῦν μελπέσθε θεῷ ᾠδαῖς περικαλλέας ᾠδάς.
ἐκ θυμοῦ λαοὶ ψάλλετε, καὶ κραδίης.
Ῥέζετε γοῦν ἐρατεινὰ θεῷ, σωτήρια ὑμῖν.
ἐστὲ ὅλως εὐχαῖς, καὶ διδαχῇ μάκαρες.
Συμπαθέες, σεμνοί, πρᾶοι, καὶ ἦθος ἄριστοι.
οἶνον ὑπερβολάδην πίνετε μηδὲ τιοῦν.

Τοῦτο

Τοῦτο γὰρ ὅς ποιεῖ, λέγεται καὶ ἔστιν ἄσωτος,
μωρὸς, καὶ ἄνομος, νήπιος, οἰνοβαρής.
Αὐτὰρ ἄναξ ἀρθροῖ πολυήρατος ἠδὲ μέγιστος
γλῶσσαν καὶ ψυχὴν καὶ νόον ἡμέτερον.
Ὄφρα θεοῖς χαρίεντα μετ᾽ ἀλλήλοισι λέγωμεν,
οὖρα σκύθων ἐλόον δειδιότες πόλεμον.
τὸν στρατὸν ὑβριστὴν μήδων ἀπέρυκοι ἁπάντων,
Ἄλκι ἐῇ, ἡμῖν παισὶ χαριζόμενος.
ἡ φόρμιγξ φθέγγοιθ᾽ ἱερὸν μέλος ἡδὺ ῥιπῇ
Νῦν ἱλάσκεσθαι μολπῇ ἄνακτα σοφόν.
ἠδὲ πανημέριοι θεὸν ἱλασκοίμεθα εὐχῇ
ἡμεῖς, τῇ αὐδῇ, μειλιχίοις τε λόγοις.
ψάλλετε, ψάλλετ᾽ ἐπιχθόνιοι, πρεάζετ᾽, ἀοιδὴν
Ἁγνῇ τῇ κιθάρῃ εὐαγέος χέλυος.
εἵνεκα τῶν ἔργων, εὐεργεσιῶν τε ἁπασῶν.
Σπλάγχνα μου, ἠδὲ λόγος κλεῖε ἄνακτα θεόν.
ψυχή μου αἴνει πάντως βασιλῆα κρεόντων,
Τῶν δοσέων πασῶν εἵνεκα, καὶ κράτεος.
θυμὲ λίην αἴνει τὸν κοίρανον αὐτογένεθλον
καὶ τὸ γόνυ κραδίης κάμπτε ὑπωφόριον.
χρή τοι ἀειζώοντι χάριν γλυκερὴν ἐπαίνειν,
χρὴ σεμνῶς αὐτῷ πανταχῇ αἶνον ἄγειν.
Νουθετέω, παρὰ καὶ καλέω βροτὸν ἄνδρα ἕκαστον,
μὴ πτωχοῖς πενίην οὐλομένην προφέρειν.
μὴ πλουτεῖν ἀδίκως, μὴ ὑπερφρονέειν παρὰ μέτρον.
Αἴσυλα μὴ πράττειν, μὴ πολυπραγμονέειν.
Ἀλλὰ δικαιοσύνην ἀσκεῖν ἔργῳ τε, λόγῳ τε,
καὶ τὴν σωφροσύνην, εὐδικίην τε ὅλως.

ἠδὲ θεὸν στέργειν, κηρύττειν ἠδεῖ μύθῳ,
Αὐτοῦ πρὸς δόξαν πάντας ἔπειτα λέγειν.
Χρὴ οὖν προσαπίπτειν ἡμᾶς καὶ χεῖρας ἀνασχεῖν
καὶ θεὸν εὔχεσθαι εἰς βίον ἄλλον ἄγειν.
Ὄφρα βροτοὺς σώζῃ κατ' ἀπείρονα κόσμον ἅπαντας,
Ὄρχαμον ΑΥΓΟΥΣΤΟΝ θ' ἡγεμόνα κρατερόν.
καὶ τοῦ ὀπάονας, ἠδὲ γέρας, πάντας τε ἐν ἀκμῇ,
κοιρανίην τηρῇ τ' ἐν τῇ ἀπημοσύνῃ,
Αὐλὴν, καὶ πόλεας. βουληφόρον ἀνέρα πάντα,
πάντα δὲ ὅσα φιλεῖ, πάντα δὲ ὅσα ἔχει.
Καὶ διὸ αἰνοῖμεν πανθελγεῖ μάρτυρι φωνῇ
ἰσοφαοῦς τριάδος λάμψιν ἐπουρανίην.
Δόξα ἐν ὑψίστις θεῷ, εἰρήνη ἐπὶ γαίης,
καὶ ἐνὶ ἀνθρώπις εὐδοκίη θεόθεν.
εἰς χρόνον οὐ λήγοντα τὸ ἀλληλούϊα ἔστω
Σοὶ τριάθ' ἁγνοτάτη κῦδος, ἔπαινος, Ἀμήν.

*Disticha χρονολογικά, nomen, annum, mensem & diem scripti continentia.*

LVX pIa septeMbrIs septena sonabat ab astrIs
AVgVstVs VIVat DeXterItate bona.

*Aliud.*

SepteMbrIs septena DIes LVX aVrea Voto
AVgVstI sensVs VIVere rIte probat.

T. Celss.

Subjectiss:

*Georgius Horn.*

## *Eiusdem.*

*VT cœlum VViteberga nites, ut lumina Phœbi,*
*Sanctior haud ullus restat in orbe locus*
*Lumina tu reliquis præbes regionibus, ex te*
*Vera salus, per te lumina mundus habet.*
*Hanc Deus hanc patriam serva, populumq; Ducesq;,*
*Fac stent auxilio mœnia nostra tuo.*
*Vt nituit, niteat, ceu fulsit, fulgeat oro.*
*Sic tibi posteritas pectore grata canet.*

## Pro Ecclesia.

*HAud secus ac fluctus, vento surgente, moventur,*
*Sic tua templa DEVS, Marte furente, tremunt.*
*Surge DEVS, cymbamq; tuam, populumq; guberna.*
*Fac Verbo cedant omnia regna tuo.*

## Aliud.

*Liberat Andromeden Perseus, nos sanguine Christus,*
*Marte pio totum vincimus orbis opus.*

*Psalm. 28.*

Afferte Domino gloriam nomini ejus, adorate Dominum in atrio sancto ejus.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-17579-p0037-6

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-17579-p0038-2

Vc 2457. 8

ULB Halle 3
004 778 464

VD 17 n.f.

n.f.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-17579-p0039-1




Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-17579-p0040-3

IA

*felicitati*

lsissimiq;

omini

STI

ONIÆ,

GIÆ, MAR-

Naumburgen-

tratoris, Aca-

oris Magni-

ni sui

*NICENSI.*

Æ

Seuberlich,

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-17579-p0041-8